# ΚΛΑΥΔΙΟΥ ΠΤΟ-
## ΛΕΜΑΙΟΥ ἈΠΟΤΕΛΕΣΜΑΤΙΚΩΝ Β.

Τὰ μὲν δὴ κυριώτατα τῶν πινακικῶς προεκτεθειμένων νῦν εἰς τὴν τῶν κατὰ μέρος προρρήσεων ἐπίσκεψιν, ὡς ἐν κεφαλαίοις μέχρι τοσούτων ἡμῖν ἐφοδευέσθω. συνάψωμεν δὲ ἤδη κατὰ τὰ ἑξῆς τῆς ἀκολουθίας τὰς καθ᾽ ἕκαστα τῶν εἰς τὸ δυνατὸν τῆς τοιαύτης προρρήσεως ἐμπιπτόντων πραγματείας, ἐχόμενοι πανταχῆ τῆς κατὰ τὸν φυσικὸν τρόπον ὑφηγήσεως. εἰς δύο τοίνυν τὰ μέγιστα καὶ κυριώτατα μέρη διαιρουμένου, τοῦ διαστρονομίας προγνωστικοῦ, καὶ πρώτου μὲν ὄντος καὶ γενικωτέρου, τοῦ καθ᾽ ὅλα ἔθνη καὶ χώρας καὶ πόλεις λαμβανομένου, ὃ καλεῖται καθολικόν, δευτέρου δὲ καὶ εἰδικωτέρου, τοῦ καθ᾽ ἕνα ἕκαστον τῶν ἀνθρώπων ὃ καὶ αὐτὸ καλεῖται γενεθλιαλογικόν, προσήκειν ἡγούμεθα περὶ τοῦ καθολικοῦ πρῶτον ποιήσασθαι τὸν λόγον, ἐπειδήπερ ταῦτα μὲν κατὰ μείζους καὶ ἰσχυροτέρας αἰτίας τρέπεσθαι πέφυκε, μᾶλλον τῶν μερικῶς ἀποτελουμένων. ὑποπιπτουσῶν δὲ ἀεὶ τῶν ἀσθενεστέρων φύσεων ταῖς δυνατωτέραις καὶ τῶν κατὰ μέρος ταῖς καθόλου, παντάπασιν ἂν εἴη ἀναγκαῖον τοῖς προαιρουμένοις περὶ ἑνὸς ἑκάστου σκοπεῖν, πολὺ πρότερον περὶ τῶν ὁλοσχερεστέρων περιειληφέναι. καὶ αὐτῆς δὲ τῆς καθολικῆς ἐπισκέψεως, τὸ μὲν πάλιν κατὰ χώρας ὅλας λαμβάνεται, τὸ δὲ κατὰ χώρας καὶ κατὰ πόλεις. καὶ ἔτι τὸ μὲν κατὰ μείζους καὶ περιοδικωτέρας περιστάσεις, οἷον πολέμων ἢ λοιμῶν ἢ σεισμῶν ἢ κατακλυσμῶν, καὶ τῶν τοιούτων. τὸ δὲ κατὰ ἐλάττους καὶ μικροτέρας οἷαί εἰσι τῶν ἐτησίων ὡρῶν καὶ τὸ μᾶλλον ἢ ἧττον ἀλλοιώσεις, περί τε ἀνέσεις ἢ ἐπιτάσεις χειμώνων καὶ πνευμάτων καὶ καυμάτων, ἢ εὐφορίας τε καὶ ἀφορίας καὶ τὰ τοιαῦτα. προηγεῖται δὲ καὶ τούτων εἰκότως ἑκατέρου, τό, τε κατὰ χώρας ὅλας καὶ κατὰ μείζους περιστάσεις, διὰ τὴν αὐτὴν αἰτίαν τῇ προειρημένῃ. πρὸς δὲ τὴν τούτων ἐπίσκεψιν μάλιστα παραλαμβανομένων δύο τούτων τῆς τε τῶν δωδεκατημορίων τοῦ ζωδιακοῦ καὶ ἔτι τῶν ἀστέρων πρὸς ἕκαστα τῶν κλιμάτων συνοικειώσεως καὶ τῶν ἐν τοῖς οἰκείοις μέρεσι κατὰ καιροὺς γινομένων ἐπισημασιῶν, κατὰ μὲν τὰς συζυγίας ☉ καὶ ☾ τῶν ἐκλειπτικῶν, κατὰ δὲ τῶν πλανωμένων

νων προσόδους